Orpheus

ORPHEI LITHICA.

ACCEDIT

DAMIGERON DE LAPIDIBUS.

RECENSUIT

EUGENIUS ABEL.

BEROLINI

APUD S. CALVARY ET SOCIOS

MDCCCLXXXI.

RICHARDO FOERSTERO

SACRUM.

PRAEFATIO.

Carmen graecum de lapidibus, quod nunc demum ad optimorum codicum fidem recensitum editur, cuinam auctori et aetati adscribendum sit, per multos annos magna fuit dubitatio. Orpheum nostri carminis auctorem fuisse post praeclaras Tyrwhitti lucubrationes nemo amplius credet. Sane iam Proclum et Stobaeum Lithica Orpheo attribuisse et passim in operibus suis laudavisse Gesner affirmavit, sed a Proclo Lithica nusquam citari iam idem Tyrwhitt ex indice Fabriciano scriptorum a Proclo memoratorum probavit, et Lobeck ex saepius perlectis Procli commentariis in Aglaophami vol. I, p. 377 firmavit; Stobaeo autem locos ex Lithicis citatos a Conrado Gesnero demum additos esse iterum recte vidit Tyrwhitt, neque hodie ulli dubitationi subiectum est. Cum autem quo tempore vixerit graeculus ille qui Lithicorum epitomam prosaicam confecit, compertum non habeamus, neque auctor[1]) Compendii Rhetorices a Walzio in Rhetorum Graecorum sexto volumine postremum editi ante saec. XV floruerit, nullum ante Joannem Tzetzam auctorem afferre possumus, qui Lithica Orpheo attribuerit. Recte autem contendit Tyrwhitt omni iudicandi facultate destitutum fuisse

[1]) Matthiae Camariotae hoc compendium attribuerat primus editor Hoeschelius, et ante Tzetzam eius auctorem vixisse Valentini Rose erat sententia. Sed Georgium Plethonem, qui a. 1451 obiit, auctorem fuisse recte contendit Walz, qui hunc titulum opusculo praefixit: *Γεωργίου Πλήθωνος συντομὴ περί τινων μερῶν τῆς ῥητορικῆς.* In quo compendio de antro Mercurii a nostro poeta celebrato mentionem facit auctor p. 593 ed. Walz.: *τὴν δεινότητα, κατὰ ῥήτορα γράφοντα, διὰ τῶν ἑρμαϊκῶν ἄντρων, ὡς Ὀρφεὺς λέγει, διαδραμόντα.*

scriptorem, qui uni eidemque poetae scripta astrologica, magica, epodica et hymnos, attribuerit et Maximi quoque carmen *περὶ καταρχῶν* sub Orphei nomine saepe laudaverit. Qua Tzetzae inscitia cognita ne necessaria quidem videtur Tyrwhitti suspicio »incidisse Tzetzam in librum omnia haec poemata (Lithica, Dodecaeterides, Georgica) simul continentem, in quo libro cum primum locum occuparent *Ἐφημερίδες* v. g. quae, utpote Musaeo inscriptae, ad Orphea auctorem pro more referendae viderentur, ipsum Tzetzam properanter nimis et incaute caetera etiam in eodem libro poemata Orpheo tribuenda existimavisse.« Paullo verisimilior est Lobeckii sententia l. l. prolata, Tzetzam de carmine Orphico *περὶ λίθων γλυφῆς* a Suida quoque commemorato audivisse et hac de causa Lithica cum Argonauticis eodem volumine comprehensa Orpheo tribuisse. Sed quocunque modo haec res se habeat, certum est, nihil esse in toto carmine, quod antiqui illius Orphei musam sapiat, quare spretis Tzetzae eiusque sequacium, editorum ante Tyrwhittum, nugis, ad aetatem auctoris anonymi accuratius definiendam pergamus. In quo negotio ita versabimur, ut Tyrwhittum secuti a Lithicorum versibus 67—74 proficiscamur, in quibus quin de persecutionibus arti magicae et eius sectatoribus imminentibus agatur, dubitari non potest. Anno autem 357 prodiit prima Constantii lex[2]: »Supplicio capitis ferietur .... quicunque iussis nostris obsequium denegaverit«, id est: »Chaldaei et Magi et caeteri quos maleficos ob facinorum magnitudinem vulgus appellat.« Paucis annis post (a. 371) sub Valente magis etiam exarsit Christianorum in magos ira. Quorum domibus signatis, saepe, ut refert Ammianus Marcellinus XXIX. 1, immissi sunt »qui inter scrutinia supellectilis poenis addicti incantamenta quaedam anilia vel ludibriosa subderent amatoria, ad insontium perniciem concinnata; quibus in iudicio recitatis, ubi non lex, non religio, non aequitas veritatem a mendaciis dirimebat, indefensi bonis ablatis, nullo contacti de-

---

[2]) Cod. Theod. IX. Tit. XVIII, 5.

licto, promiscue iuvenes aliique, membris omnibus capti, ad supplicia sellis gestoriis ducebantur.« »Congesti innumeri codices, et acervi voluminum multi, sub conspectu iudicum concremati sunt, ex domibus eruti variis, ut illiciti, ad leniendam caesorum invidiam.« »Inde factum est per orientales provincias, ut omnes metu similium, exurerent libraria omnia: tantus universos invaserat terror.« Tunc praeter Simonidem, Patricium et Andronicum interfectus est, secundum Zosimum (L. IV. p. 743) ὁ ἐκ Φρυγίας Ἱλάριος, ὡς δὴ χρησμόν τινα λοξὸν εἰς τὸ σαφέστερον ἑρμηνεύσας, tunc capite truncatus, ut refert Marcellinus (l. l.), Juliani olim imperatoris praeceptor et familiaris, ob oraculum quoddam sciscitantibus expositum, Maximus, cuius casum a nostro poeta in versibus supra laudatis deploratum esse non sine veri specie suspicatus est Tyrwhitt. Alia quoque minoris momenti argumenta ad suam sententiam firmandam attulit Tyrwhitt, haec: »Hinc enim patet, cur multorum lapidum virtutes tam medicas quam theurgicas apud nostrum invenimus, quorum ne nomina quidem ab antiquioribus de hac materia scriptoribus, Theophrasto scilicet, Dioscoride, Plinio, aut Galeno, memorantur. Hinc quoque ratio petatur, cur auctor non modo nomen suum operi nusquam inscripserit, sed etiam ab omnibus rebus, quae indicium sui facere possent, prudens, ut videtur, abstinuerit; cur denique libelli exemplaria tam pauca, quasi furtim, distributa fuerint, ut non mirandum sit, eum vel per octo saecula latuisse, vel tandem in Tzetzis manus sine ulla scriptoris sui memoria devenisse.« Quae argumenta omnia feliciter impugnant Ruhnkenii sententiam (in Bibl. crit. VIII p. 87. Opusc. p. 644) ab Hermanno quoque probatam (in Orph. p. 676), qua carmen nostrum saeculo p. Chr. n. primo tribuitur, in quo sub Domitiano philosophi ex urbe et Italia eiciebantur teste Dione Cassio LXVII cap. 13. Quae sententia vel ideo improbari debuit, quod neque ex primo saeculo carmen notum est, quod cum nostro elegantia certare possit, ut recte observat Bernhardy in hist. litt. Gr. II p. 424, neque quartum saeculum adeo

poetico spiritu destitutum fuisse, quod Ruhnken et Hermann censuerunt, ut nostrum carmen ei assignare non possimus, Quinti Smyrnaei, Soterichi aliorumque poemata docent.

Tyrwhitti ergo sententiam merito probaverunt Bernhardy l. l. II, P. I.³ p. 424, Wiel p. 3—5, qui in rerum superstitiosarum scriptoribus, in Platonicae philosophiae mysticis interpretibus, denique in antiquorum physicorum medicorumque operibus frustra quaerebat, quibus ad carminis nostri aetatem definiendam uti posset; tum Seidenadel, p. 5 cui auctor in Asia minore natus esse videtur, utpote qui episodia operi suo intexta ex fabulosa Troiae historia sumpserit. Atque Asianum nostrum vocaverat iam Tyrwhitt. — Denique Beck in Additam. ad Fabric. I, p. 9 maluit Lithica quinto aut sexto saeculo adscribi, »neque enim ita elegans est et vere Graecum carmen, quin ea aetate [quarto saec.] potuerit confingi.« Sed nos quin Beckio accedamus retinet ea res, quod, quae Seidenadelii est observatio, nostri ars metrica prorsus congruit cum ea, quae ante Nonnum, id est ante quinti saeculi initium omnia obtinebat; quod aliter explicari nequit, nisi cum Tyrwhitto auctorem nostrum »neque ante Constantium nec multo post Valentem vixisse« et Damigeronis cuiusdam magi de lapidibus libellum versibus expressisse statuamus. (v. infra praefationem ad latinam Damigeronis versionem.)

Transeo ad rem criticam.

Qui primus plures Lithicorum locos in variis suis operibus attulit, Joannes Tzetzes codice usus est satis integro, quem ubicumque fieri potuit, sequendum mihi proposui. Respexit autem Tzetzes et citavit Lithica in Commentariis in Hesiodum et Lycophronem, in Chiliadibus, tum in Exegi in Iliadem, unde plura ad nostrum carmen spectantia primus edidit G. Hermann in Addendis Orphicorum editioni praemissis. Tota vero Exegesis aliquot annis post, a. 1812 ab Hermanno edita lucem aspexit Lipsiae post Draconem Stratonicensem; qua editione licet nonnullos Lithicorum et ipsius Tzetzae locos aliter scriptos exhibeat atque in Addendis typis

expressi erant, imprimis mihi utendum est, cum fidelissime codicis lectiones in ea expressas esse Hermann in praef. p. VII spondeat, neque ad manus mihi sit Bachmanni editio (anni 1830) quae accuratissimum codicis apographum continere dicitur.

Ad Tzetzae codicem proxime accessisse videtur is, ex quo Christianus quidam anonymus prosa oratione carminis epitomam ex Dioscoride et Damigerone graeco passim auctam confecit, unde Tyrwhitt primus nonnulla protulit ad emendandum et illustrandum auctorem nostrum utilissima. Quem codicem melioris notae fuisse quam omnium quotquot extant codicum archetypum, probat praeter alios v. 524, ubi lectio, quam equidem unice veram esse puto, ex epitomae verbis eruenda est. Integram autem huius epitomae editionem Lithicorum textui subiungendam curavi, partim ut lectiones a me in textum receptae nova auctoritate firmentur, partim ne reliqua quae epitomae codicibus insunt satis notabilia prorsus oblivione premantur.

Selecti Lithicorum loci octo leguntur in codice Palatino graeco 915 (nunc Romae asservato, bombycino saeculi XIV, madore passim corrupto), in quo fol. 23 a. *ὡραῖα γνωμικὰ τῆς ὀρφέως ποιήσεως* (?) extant ex codice perbono excerpta, quo libro eo maiore cum fructu uti licuit, quod eos tantum carminis locos continet, qui hodie non nisi in pessimae fidei corruptis codicibus leguntur. — Notavi: Excc. Vatt.

Omnium autem quotquot extant codicum praestantissimus est liber Ambrosianus B 98 sup. (mihi A) quem proxima hieme Mediolani inveni et accuratissime bis cum Hermanni editione contuli.

De quo codice fusius dixi in epistula ad Aemilium Thewrewk de Ponor, praeceptorem olim meum, data, (Budapestini, 1879) ex qua codicis descriptionem excerpere liceat: »Est autem liber, de quo mentionem inieci (inter Ambrosianas copias B 98 sup. nota insignitus) idem, quem Baumeisterus in maiore sua Hymnorum Homericorum editione Ambrosianum D appellat, ineunte saeculo quinto decimo nitidissimis characteri-

bus in membrana scriptus; continet vero praeter Apollonium Rhodium, Batrachomyomachiam, Homeri et Callimachi hymnos et Herodoti, qui dicitur, de genere Homeri libellum, Orphei Argonautica et Lithica. . . . . Codex ille Ambrosiani libri archetypus, quem minusculis quae vocantur litteris exaratum fuisse inde colligas, quod haud raro in Ambrosiano codice *δ* pro *σ* et *α* pro *ει* scriptum extat (cfr. *δῶμα* pro *σῶμα*, *δεύεται* pro *σεύεται*, *αἶα* pro *αἰεί*, *μεγαίρειν* pro *μέγαιραν*, similia) tredecim foliis olim constitisse videtur, quorum in singulis foliis, primo excepto, triginta duo fere versus numerabantur. Sed quo tempore Ambrosianus codex ex archetypo descriptus est, iam non erat ille integer, sed amissa erant praeter carminis inscriptionem . . . folia primum et secundum, quae versus nonaginta priores, et septimum, quod vv. 393—460 continebat. Praeterea prior codicis pars vel igne vel madore vel alia causa ita corrupta erat, ut initio quaterni, circa mediam codicis partem autem singuli in ima ut videtur pagina versus legi non potuissent, unde factum est, ut versus 111—114, 141—143, 170—173, 201—204, 232—235, 264—267, 296—299, 328—331, 359—362, 493, 526 et 559 editionis Hermannianae in Ambrosiano libro unius semper versus spatio vacuo relicto desiderentur.« — Hunc codicem in verbis poetae recensendis unicum quatenus fieri potuit ducem secutus sum, cum quaevis huius editionis pagina demonstret, deteriorum librorum scripturas ab A libri memoria recedentes plerumque nihil aliud esse nisi vel meros scribendi errores vel interpolationes impudentissimas, quibus quicquid leviter corrupti vel elegantius insolentiusque dicti in codicum archetypo repertum sit, fideliter ab Ambrosiani libri scriba servatum, inepte obtegatur obfusceturque.

Quae interpolationes interdum satis sagaces mihi quidem non ab eo factae esse videntur, qui deteriorum codicum fontem communem exaraverit, verum potius a lectore satis erudito, qui minora codicis sui vitia tacite inter legendum corrigens non nisi maioribus corruptelis correctionem suam adscripserit, unde postea in textum irrepserint. Quod ne

quis temere affirmatum iudicet, moneo in omnibus deterioribus codicibus tanta vitia levissima in A quoque reperta inveniri, ut is qui deteriorum codicum archetypum exaraverit, officio suo neglegentissime functus esse putandus sit. Fuit autem scriba codicis huius archetypi Demetrius Moschi Lacedaemonius de quo omnes ante me editores nihil, ut videtur, compertum habuerunt. Ego quae in Lilii Gregorii Gyraldi Ferrariensis »Dialogis duobus de poetis nostrorum temporum« reperi (Flor. 1551 p. 60) exscripta ab Hodio in libro »de Graecis illustribus linguae Graecae literarumque humaniorum instauratoribus« (p. 134) hic apponam: »Reliquit hic [Joh. Moschus Lacedaemonius] liberos duos, qui paterna vestigia sectati literis operam navarunt, Georgium et Demetrium, quem tu, Lili, probe novisti, nam et Ferrariae cum Rhangonis et Mirandulae cum Picis aliquandiu ambo convixistis, sed Georgius Corcyrae substitit, medicinae et oratoriae artis professor. Composuit autem Demetrius carmina plurima. Epigrammata, Elegias, Comoedias non in publicum, sed amicis duntaxat exhibuit, heroicum vero carmen aggressus de Helena palam omnibus excusum typis legendum tradidit, [Rhegii a. 1500], in quo mira est facilitas; composuit et orationes quasdam, sed et Commentariolum in Orphei de Lapidibus opusculum in gratiam Jo. Franc. Pici[3]). Hic primum Venetiis, mox Ferrariae et Mantuae diversatus est, quibus locis multos habuit discipulos. Sed iam de Moschis satis a me dictum.« Hunc autem Demetrium Lithicorum editionem re vera paravisse vel inde verisimile fit, quod in eiusdem oratione quadam inedita[4]) inter auctores

[3]) Olim in epist. p. 4 opusculum hoc idem esse credidi ac commentariolum in Orphei Lithica, quare Joannis Francisci Pici Mirandulae principis gratia Lithicorum codicem a Demetrio exaratum et commentario instructum esse dixi. Quam sententiam nunc quoque teneo, licet negare non possim de alio quodam opusculo Francisci Pici nomini inscripto Gyraldum cogitare potuisse.

[4]) In cod. Ambros. C. 80 inf. (meo M) extat: *τοῦ αὐτοῦ* (hoc postea additum) *δημητρίου μόσχου τοῦ λάκωνος πρὸς τὸν αὐτὸν* (*αὐτὸν* postea additum) *περιφανῆ δημήτριον λάσκαριν τὸν πρωτοστράτορα στρατηγικός,*

plurimos citatos Orpheus solus *σοφοῦ τε καὶ θείου ποιητοῦ* cognomine ornatur. Hic Demetrius exemplar suum immane quantum et vitiis et interpolationibus corruptum fideliter, ut videtur, transscripsit, non nisi brevi praefatione et paucis quibusdam scholiis additis. Ex huius exemplari descripti sunt omnes reliqui praeter A codices, ex quorum numero tamen mendosissimus tantum liber Parisinus ante me a criticis adhibitus erat. Sunt autem hi:

B: cod. Bernensis bibliothecae civicae nr. 369 chart. saec. XVI, quem insigni humanitate Budapestinum transmittendum curavit rogante Gulielmo Fraknói, Hermannus Bloesch bibliothecae civicae praefectus illustrissimus. Codex hic mendosissime scriptus est, et nonnulla Moschi scholia omittit.

M: cod. Ambrosianus C. 80 inf. in fol. chart. saec. XV ex. satis accurate scriptus ab homine litterato, qui non solum plura deteriorum codicum vitia inter scribendum ita correxit, ut cum A saepius consentiens deprehendatur, sed etiam errores antiquitus traditos emendare aggressus est; quare huius libri graviter interpolati non magna est auctoritas.

P: cod. Paris. bibliothecae nationalis nr. 2764 chart. saec. XVI ineuntis a prima ut videtur manu correctus et Demetrii Moschi scholiis ornatus. Excerptae ex hoc codice variae lectiones una cum maxima parte scholiorum tunc temporis ineditorum Orpheo Gesneriano adiectae sunt, unde postea in Tyrwhitti et Hermanni editiones receptae sunt.

---

in quo de Chirone inter alia haec dicuntur: *ὅτι δὲ καὶ δικαιοσύνης ὁ προειρημένος τῶν πολεμικῶν ἐπήσκει διδάσκαλος λόγος ἡμῖν σοφοῦ τε καὶ θείου ποιητοῦ διαπιστώσει, ὀρφέως λέγω τοῦ θρᾳκός, ὃς τάδε περὶ τοῦ χείρωνος ἀπεφθέγξατο.* Post hanc orationem alia sequitur in eodem codice: *τοῦ αὐτοῦ μελέτη συνηγορικὴ πρὸς μιχαῆλον περὶ κλοπῆς ὑπὲρ τοῦ εὐγενοῦς παύλου τοῦ σγουρομάλλου.* Hanc excipit *τοῦ αὐτοῦ μελέτη ὑπὲρ τοῦ ἀναβεβηκότος ἀριστέως ξένου ἐπὶ τὸ τεῖχος πολέμου ὄντος καὶ νικήσαντος καὶ κρινομένου παρανόμων· νόμου κελεύοντος μὴ ἀνιέναι τὸν ξένον ἐπὶ τὸ τεῖχος*, quae hac subscriptione finitur: *τέλος τῆς ὑπὲρ τοῦ ἀριστέως μελέτης δημητρίου τοῦ μόσχου τοῦ λάκωνος ἐν ἐνετίαις καὶ ταύτης μετὰ τῶν ἄλλων συντεθείσης.*

Pal.: cod. Palatinus 319, fol. chart. saec. XV ex. nunc in Bibliotheca Vaticana asservatus, qui licet Moschi hypothesi careat, tamen ad deteriorem classem pertinet, ut cuivis rem diligentius examinanti patebit.

V: cod. Venetus class. IX cod. I. saec. XVI, quem Aldinae editionis fundamentum fuisse perperam suspicatus sum in Epist. p. 4.

Escorialensis codicis *Φ* III, 14 brevis notitia Gustavi Loewe, viri clarissimi, humanitate ad me pervenit. Codex, qui etiam Moschi hypothesin et scholia continet, maxime cum B conspirare videtur. cfr. adnot. ad v. 67.

Cod. Parisinus bibliothecae nationalis nr. 132 suppl. gr. qui Orphei Argonautica, hymnos et Lithica una continet, sed Moschi hypothesi caret, hanc subscriptionem habet: *γέγραπται τὸ παρὸν βιβλίδιον ἐν λουτεκία τῶν παρησίων ἐν μηνὶ πυανεψιῶνι ἔτους ἀπὸ τοῦ χριστοῦ γεννήσεως αφξδ ἡδονῆς τε καὶ τέρψεως ἕνεκα τοῦ μεγαλοπρεπεστάτου εὐπατρίδος ἐῤῥίκου μεμμονίου σοφωτάτου τε καὶ λογιωτάτου καὶ μαγίστορος τῶν τοῦ βασιλέως δεήσεων, τοῦ καὶ ἐν ἑλικῶνι ταῖς μούσαις ἀεὶ συμπαίζοντος τύχῃ ἀγαθῇ χειρὶ ἀγγέλου βερκίου* [= Vergetius] *τοῦ κρητός. ὃς καὶ ἰλιγγιάσας πρὸς τὸ πέλαγος τῶν σφαλμάτων τοῦ ἀντιγράφου οὐκ ἴσχυσεν ἐπανορθῶσαι καλῶς τουτὶ τὸ παρ' ἐκείνου ἐκβληθέν.* Est apographum elegantissimum, recentissimum et satis accuratum editionis Aldinae.

Praeterea codex Vindobonensis lat. nr. 10056, chart. recentissimus, fol. 259—276 opus nostrum continere dicitur. Sed nihil inest praeter editionis Aldinae versionem latinam satis ineptam.

Ex codice P libro simillimo expressa prima nostri carminis editio Aldina anno 1517 prodiit; priores Orphei editiones Lithica non habebant. Princeps editio, ut apud Aldum solet, turpissimis vitiis scatet: editor, cuius nomen ignoramus, satis habuit exemplar manuscriptum hic inde nescio cuius coniecturis emendatum fideliter typis exprimere et paucos tantum typographorum errores corrigere. Recusa est haec editio apud haeredes Juntae a. 1519, quae editio a

me frustra quaesita a Gesnero collata est, qui nonnulla propria in ea inesse iudicavit. Sed nullum Juntis ad manus fuisse librum manuscriptum, neque alia esse propria illa, nisi mera typographorum sphalmata, patet ex altera nostri carminis editione Juntina anni 1540, quae paucissimis tantum locis leviora Aldinae vitia correxit, ceteroquin autem magis etiam neglegenter impressa est, quare non valde dolendum, quod et haec editio, et ex ea expressa proxime sequens Farrea, editores hucusque latuit. Editio enim Lithicorum Farrea quae a. 1543 Venetiis ex officina Farrea prodiit in plurium poetarum graecorum collectione, mera repititio est Juntinae secundae, cuius errores typographici in ea numquam correcti, saepissime aucti sunt. Harum trium editionum, quas *a if* siglis notavi, accuratam collationem, omissis tantum propriis Juntinae vel Farreae vel utriusque erroribus, notis inserui, ut magis etiam, quam hucusque factum est, appareat, quantum carmen nostrum Henrico Stephano debeat, qui a. 1566 in praeclaram suam epicorum graecorum editionem (»Poetae Graeci Principes Heroici carminis et alii nonnulli«) etiam Orphei Lithica recepit. Usus est Stephanus, ut ipse fatetur, sola editione Aldina, et hic inde Tzetzae testimonio, sed tantum pollebat ingenii acumine, ut plurima Aldinae menda, etiam graviora, feliciter tolleret. Stephani textus post Jacobi Lectii Poetas Graecos (Aureliae Allobrogum 1606) repetitus est ab Andrea Christiano Eschenbachio in Orphicorum editione a. 1689 Traiecti ad Rhenum excusa, addita versione latina, in qua tacite nonnulla mutavit, rarius emendavit Eschenbach.

Eschenbachii versionem latinam plurimis locis correxit, varias lectiones Aldinae et Juntinae, neglegentissime illas excerptas, et notas criticas haud magni pretii textui addidit Joh. Matth. Gesner, cuius editio post mortem eius a Chr. Hambergero curata Lipsiae prodiit a. 1764, aucta neglegenti collatione libri Parisini ab Ernestio confecta et a Ruhnkenio Gesnero donata. — Deinde separato libello Thomas Tyrwhitt Lithica edidit Londini 1781, ex qua editione quae in notis attuli ex

Hermanni editione sumpta esse sciendum est. Tyrwhitt, qui versionem quoque Lithicorum Gesnerianam editioni suae se ipso postea improbante adiecit, omnium optime de nostro carmine meruit. Totius carminis oeconomiam a Tzetza, Demetrio Moscho, et prioribus editoribus non intellectam, luculenter exposuit, textum receptis priorum editorum emendationibus dedit politiorem, propriis coniecturis ingeniosissimis, quas tamen numquam in textum admisit, poetae pristinum nitorem restituit; denique epitomam prosaicam, quam absoluta iam editione in Bodleiana bibliotheca invenit, in addendis publici iuris fecit et emendando carmini felicissime adhibuit. Magnum huic editioni ornamentum accedit praeterea ex Musgravii emendationibus, quas exemplaris cuiusdam Lithicorum ipsi legati margini adscriptas item in addendis imprimendas curavit Tyrwhitt. Omnium editorum et criticorum in Lithica notas collegit Hermann, qui in Orphicorum editionem (Lipsiae 1805) nostrum quoque carmen recepit et magno praeclararum emendationum numero ornavit, adhibitis etiam lectionibus ab Jo. Tzetza in Iliadis Exegesi tunc nondum edita prolatis. Cuius textum, qui, secutus a. 1876 a Tauchnitzianae editore, a. 1818 (Lipsiae apud Weigelium) recudendum curavit, G. H. Schaefer, paucissimos tantum typographorum errores correxit.

Hactenus de editionibus. Latuerunt hucusque editores »Orphei poetae vetustissimi opera iam primum ad verbum translata et diligentius quam antea multis in locis emendata per Renatum Perdrierium Parisiensem« quae »Basileae ex officina Joan. Oporini Anno salutis humanae MDLV mense Februario« prodierunt cum duplici Lithicorum versione prosaica indoctissima, cui subiunctae sunt emendationes nonnullorum Aldinae vitiorum typographicorum.

Hannardi Gamerii Paraphrasin cum eius Scholiis et D. Wendalini Cronobachii Medici animadversionibus vulgatam Leodii 1578 in 8°, quam Fabricius memoravit in Bibl. Gr. neque Gesner vidit, neque ullus post eum editor. Sed habuit Gesner antiquiorem similis cuiusdam stupidissimi

opelli editionem, cuius hunc titulum descripsit: »Orpheus antiquissimus et optimus poëta, Philosophus Trismegistus, de Lapidibus, nunc demum Latio iure donatus. M. Hannardo Gamerio Poëta laureato interprete. Accesserunt eiusdem Hannardi scholia, quae et rei medicae studiosis utilia iucundaque futura sunt, et quae quibusdam locis obscurioribus plurimum lucis adferent. Accessit praeterea argumentum in Orphei libellum Renato Perdrierio interprete. Leodii ex officina Gualteri Morberii 1576. 4°.«

Praeterea plurimum ad poetae emendationem contulerunt Bernardus in variis suis operibus, D. Ruhnken in Epistula Critica II et in editionis Tyrwhittianae recensione, quam in Wyttenbachii Bibliothecae Criticae particulam octavam inseruit; Pierson in Verisimilibus, Schrader in Praefatione Emendationum, Slothouwer in volumine tertio Actorum Societatis Traiectinae, et quem primo loco nominare debui, Gulielmus Wiel, vir sagacissimus, qui »De Lithicorum carmine« programma scholae Bedburgensis scripsit a. 1868.

In Germanicum sermonem vertit carmen nostrum Car. Seidenadel (progr. Bruchsal. a. 1876) qui in versionis praefatione etiam de nonnullis Lithicorum locis corruptis non sine fructu disputavit, in Italicum autem sermonem comes Coriolanus Malingri di Bagnolo, cuius versio Taurini a. 1878 lucem vidit.

Scripsi Budapestini Cal. Octobr. a. 1879.

Eugenius Abel.

Δημητρίου τοῦ Μόσχου ὑπόθεσις εἰς τὸ περὶ λίθων Ὀρφέως.

Θειοδάμαντι τῷ Πριάμου συνήντησεν Ὀρφεὺς μετὰ[1]) ἑταίρων τινῶν πρὸς θυσίαν Ἡλίου, ἣν ἐτέλει κατ' ἔτος εἰς ὄρος[2]) ἀνερχόμενος· καὶ αὐτῷ τῆς νενομισμένης[3]) ταύτης ἐτησίου θυσίας τὴν αἰτίαν ἀφηγεῖται, λέγων ὑπὸ δράκοντος αὐτὸν[4]) παῖδα ὄντα ποτὲ ἀναιρεθῆναι κινδυνεύοντα καταφυγεῖν εἰς τὸ ἐκεῖ που[5]) πλησίον ἱερὸν τοῦ Ἡλίου. ὑφ' οὗ καὶ σωθέντα ὡς ὁ πατὴρ περιεποιήσατο τῆς τοῦ παιδὸς σωτηρίας κατ' ἔτος ἦγεν Ἡλίῳ θύματα. μεταστάντος δὲ ἐκείνου τῶν ἐντεῦθεν αὐτὸς Ὀρφεύς[6]) ἀντὶ τοῦ πατρὸς τῆς τοιαύτης θυσίας καθίσταται διάδοχος· ἣν νῦν ἀφοσιούμενος ἄνεισι,[7]) συμπαραλαβὼν καὶ Θειοδάμαντα. οὗτος δὲ καθ' ὁδὸν τῷ ποιητῇ περὶ δυνάμεώς τε λίθων καὶ χρήσεως διεξέρχεται, οἵτινες αὐτῶν χρήσιμοι πρὸς τῶν θυόντων κρατούμενοι, ὅπως αὐτοῖς τὰ τῶν εὐχῶν ἐξανύοιτο, καὶ οἱ πρὸς τὰς ἰοβόλους τῶν δήξεων[8]) θεραπείας. ὅθεν οἶμαι καὶ Νίκανδρος ὁ Κολοφώνιος ὕστερον ὁρμηθεὶς συνέγραψε τὰ θηριακά.

Τοῦ αὐτοῦ.[9]) Ἰστέον δέ, ὡς δύο τινὰ προοίμια τοῦ παρόν-

Demetrii Moschi hypothesis omissa est in Pal. In inscriptione B ante τοῦ Μόσχου addit Κερκυραίου; εἰς om. M.; εἰς τὸ ἑξῆς ποίημα Ὀρφέως περὶ λίθων ὑπόθεσις Δημητρίου τοῦ Μόσχου edd. 1) τῶν ante ἑταίρων omisi cum BV. 2) ὅρος V. 3) τῆς γενομένης ἐτησίου ταύτης θυσίας B. 4) αὐτόν dedi ex B., rell. αὐτόν. 5) ποῦ Hermanni editio et Tauchn. 6) ὁ ποιητής pro Ὀρφεύς et supra Θειοδάμαντί τινι συνήντησεν ὁ ποιητής scribi jubebat Tyrwh. sed recte Herm. contra: »At hoc est mentem scriptoris, non verba corrigere.« 7) ἄνεισιν P. 8) δείξεων V. 9) τοῦ αὐτοῦ om. M in spatio vacuo, et Gesn. Herm. Tauchn. qui sequentia etiam antecedentibus coniunxerunt. — »Male haec a Demetrio divisa sunt. Unicum est huius operis prooemium, quod versibus primis circiter 92 absolvitur. Colloquium inter auctorem et Theodamantem est ipsum opus; in quo primus quidem loquitur Auctor, a v. 164

τος προτίθεται ποιήματος· ἐν μὲν τῷ πρώτῳ αὐτήν τε τὴν ἀρετὴν καὶ σοφίαν ἅπασαν ἐξυμνῶν, καὶ τοὺς πάλαι τῶν ἡρώων κατ' αὐτὴν γενομένους ἐνδόξους καὶ ἰσοθέους νομισθέντας, ὧν καὶ μητέρα[10]) *τὴν ἀρετὴν προσείρηκεν. ἐν ταὐτῷ*[11]) *δὲ καὶ τῶν ἰδιωτῶν καθάπτεται, ὡς ἐπιφθόνως ἐχόντων πρὸς τοὺς τὴν ἀρετὴν διώκοντας, καὶ τούτοις ἀεὶ φιλαπεχθημόνως ἐπικειμένων. ἐν θατέρῳ δὲ ὁ πρὸς αὐτὸν καὶ Θειοδάμαντα γίνεται*[12]) *διάλογος.*

[vulg] ad v. 393 [vulg.] et sub persona Heleni a v. 394 [vulg.] ad v. 764 [vulg.] et iterum ex propria persona ad v. 766 [vulg.]. Reliqui duo versiculi sunt ipsius Auctoris, et opus claudunt.« Tyrwh. Gesner, a Moscho transversum actus, Theodamantem Priami filium, Hectoris et Cassandrae fratrem, Melanippi *ἀνεψιόν* fuisse putavit, et carminis oeconomiam adeo non intellexit, ut a v. 394 vulg. Palameden loqui et in versibus 398—412 vulg. Apollinis orationem ab eo relatam esse docuerit. Verum vidit iam ante Tyrwhittum Schrader (Emend. Praef. p. XIV) et ante utrumque notante Ruhnkenio (in recensione editionis Tyrwhittianae Bibl. Crit. P. VIII). Koene ad Greg. Cor. p. 124, qui in v. 388 vulg. *Πριαμίδαο* pro *Παλαμήδαο* scribendum esse monens carminis oeconomiam perspexisse credendus est. Gesneri errores fusius refellerunt Tyrwh. passim in notis, et Schrader l. c., quorum explicationes in re clarissima amplius non recensebo. 10) *ἡμετέρα* B. 11) *ταυτῷ* codd. et edd., nisi quod *αὐτῷ* BV. 12) *γράφεται* Eschenb. ed.

ΛΙΘΙΚΑ.

Δῶρον ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι
κεκλόμενος Μαίης ἐριούνιος ἦλθε κομίζων
υἱός, ὅπως ἂν ἔχοιμεν ὀϊζύος ἀτρεκὲς ἄλκαρ.
γηθόσυνοι δέχνυσθε βροτοί, πινυτοῖσιν ἐνίσπω,
οἷς ἀγαθὴ κραδίη, καὶ πείθεται ἀθανάτοισι·
νηπυτίοισι δ' ὄνειαρ ἀκήρατον οὐ θέμις εὑρεῖν.
τῷ δ' αὐτῷ καὶ πρόσθεν ἀγαλλομένους ἐπὶ δώρῳ
υἱά τε Λητοΐδης ἀκεσίμβροτον ἀθανάτοισιν
ἶξεν ἄγων ἐς Ὄλυμπον ἀγάννιφον, ἠδὲ σαόφρων
Παλλὰς Ἀθηναίη λαοσσόον Ἡρακλῆα·
ἆλτο δὲ καὶ Κρονίδης ταναὴν ὑπὲρ αἰθέρα Χείρων,
σευάμενος πρὸς Ὄλυμπον, ἐπεὶ μάθεν ἄμβροτα δῶρα.
ἀλλ' ἤτοι κείνους μὲν ἀμώμητοι Διὸς οἶκοι
χαίροντες δέξαντο, θεηγενέων ὄχ' ἀρίστους·
ἡμῖν δ' ἐν γαίῃ κέλεται Χρυσόρραπις ὄλβῳ
ζώειν τερπομένοισιν ἀπειρήτοις κακότητος.
ὃν δέ κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ
ἐς πολυήρατον ἄντρον ἐσελθέμεν Ἑρμείαο,
ἔνθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον,
αἶψά κεν ἀμφοτέρῃσιν ὀνείατα πολλὰ κομίζων
οἴκαδ' ἀποστείχοι, προφυγὼν πολύδακρυν ὀϊζύν·
οὐδέ ἑ νοῦσος ἄκικυς ἐνὶ μεγάροισι δαμάσσει,
οὐδ' ὅγε δυσμενέων ποθ' ὑποτρέσσας μένος αἰνὸν
ἂψ ἀναχωρήσει, προλιπὼν ἐριγηθέα νίκην·
οὐδέ οἱ ἀθλητῆρι κονισσαμένῳ ἐν ἀγῶνι
ἀντιβίην τινὰ θυμὸς ἐφορμήσει μενεαίνειν,

οὐδ' εἰ χάλκεα γυῖα καὶ ἄγναμπτον σθένος ἀνὴρ
ἄντικρυ στεφάνοιο πόθῳ κομίσας ἐριδαίνοι.
ναί μιν καὶ θήρεσσιν ὀρεσκῴοισι λέοντα
δεινὸν καὶ λαοῖσιν ἐοικότα δαίμονι τεύξω.
καί οἱ καὶ βασιλεῦσι διοτρεφέεσσιν ὀπάσσω
ῥεῖα καὶ ἀλλοδαποῖσι μετ' ἀνθρώποισι τίεσθαι.
τὸν δὲ καὶ ἠΐθεοι τερενόχροες ἱμερτῇσιν
αἰὲν ἐφορμήσουσι περιπτύσσειν παλάμῃσι,
καὶ μαλακὴ χρύσειον ἐπὶ λέχος αἰὲν ἐρύσσει
ἄλληκτον κούρη ἐπιϊεμένη φιλότητος.
εὐχομένου τε πρὸς οὖατ' ἀφίξεται αἰὲν ἐόντων
εὐχή· καὶ πόντοιο κυκωμένου οὐκ ἀλεγίζων
βήσετ' ἐπὶ τραφερὴν χθόν' ἀκυμάντοισι πόδεσσι.
τὸν καὶ λῃϊστῆρες ἀνάρσιοι οἷον ἐόντα
φεύξονται· καὶ δμῶες ὀϊόμενοι πατέρ' εἶναι
τίσουσιν, καὶ οἶκον ἑοῦ στέρξουσιν ἄνακτος.
ἴδμεναι αἴκ' ἐθέλῃσι, δαήσεται, ὅσσα τε φῶτες
κρυπτάδια σφετέρῃσιν ἐνὶ φρεσὶ μηχανόωνται,
ὅσσα τε κεκλήγασι μετά σφισιν ἠεροφοῖται,
ἀνθρώποις ἄφραστον ἰαχχάζοντες ἀοιδήν,
οἰωνοί, μεγάλοιο Διὸς κραιπνοὶ ὑποφῆται.
ῥοῖζόν τε στῆσαι χαμαὶ ἐρχομένοιο δράκοντος
εἴσεται, ἠδ' ὄφεων ἰὸν σβέσαι ἑρπυστήρων.
δώσω οἱ καὶ φῶτα χόλῳ πίπτοντα σελήνης
ῥύσασθαι, καὶ νοῦσον ἀταρτηρὴν ἐλέφαντος·
καὶ ψυχὴν ἐλάσαι τεθνηότος, ᾗ κεν ἐρεμνοῦ
ἐξ Ἄϊδος προμολοῦσα ποτιχρίμπτηται ἑκάστῳ.
ἄλλαι ἀπειρέσιοι πολυμήτιος Ἑρμείαο
δωτῖναι κομίσαντος ἐνὶ σπήλυγγι κέονται,
ἄμβροτοι, ἀτρεκέες, ῥίμφα πρήσσουσαι ἕκαστα·
τάων ἡμίθεός τε καὶ ὄλβιος ὅς κ' ἐφίκηται.
τὰς ἐμὲ κηρύσσειν λαοσσόος Ἀργειφόντης
ἀνθρώποισιν ὅρινε, μελιγλώσσοιο κελεύσας

φθόγγον ἀπὸ στήθεσφιν ἀοιδῆς γηρύσασθαι.
Ἀλλ' οὐ πάγχυ βροτοῖσι σαοφροσύνης ἀλεγίζειν
ἵμερος, αἶψα δέ, πρέσβα, σ' ἀλιτροσύναις ἀτίουσι·
μητέρα δ' ἡρώων ἀρετὴν ἀπάτερθε κλύοντες
προτροπάδην φεύγουσιν, ἀοσσητῆρα δὲ μόχθον,
μόχθον ἀοσσητῆρα βίου μάλα πεφρίκασιν.
οὐδέ σφι χρείων ἐνὶ δώμασιν ὄλβος ὁμιλεῖ,
οὐδέ τις οἶδε θεοῖς ὀαριζέμεν ἀθανάτοισιν.
ἐκ δ' οἵγε πτολίων τε καὶ ἀγρῶν ἤλασαν ἐσθλὴν
— ἆ δειλοί — σοφίην, Ἐριούνιον ὑβρίζοντες.
ὤλετο δὲ προτέροις πεπονημένον ἡμιθέοισιν
ἔργον· ὃ δ' ἀργαλέος καὶ ἀπεχθὴς αὐτίκα πᾶσιν,
ᾧ κεν ἐπωνυμίην λαοὶ τεύξωσι μάγοιο.
καί ῥ' ὃ μὲν ἐν κονίῃσιν ὑπ' ἄορι κρατὸς ἀμερθεὶς
λευγαλέῳ θανάτῳ δῖος φὼς ἐκτετάνυσται·
οἳ δ' ἴκελοι θήρεσσιν, ἀΐδριες ἠδ' ἀδίδακτοι
χήτεϊ δαιμονίοιο νοήματος, οὔθ' ὑπ' ἀρωγὴν
θεσπεσίην φυγέτην ὀλεσιμβρότου ἐκ κακότητος,
οὔτε τι θέσκελον ἔργον, ὅ κεν μάλα θαυμάζοιτο,
ἴσασ'· ἀλλὰ σφιν νεφέλη πραπίδεσσι κελαινὴ
ἀμφιπεριπλεχθεῖσα βαδιζέμεν ἀνθεμόεντα
εἰς ἀρετῆς λειμῶνα πολυστεφάνοιο μεγαίρει.
ἀλλ' ἐμέθεν στεῦμαι κειμήλια πειθομένοισιν
ἀφνειοῦ χρυσοῖο πολὺ προφερέστερα δείξειν·
φῶτα δὲ δίζημαι ταλακάρδιον, ὅς κεν ἑκάστου
ἐμμεμαὼς πειρῷτο, μενοινήσαι τε, κάμοι τε,
ὅς τε διδάσκηται, καὶ ὃς εἰδότας ἐξερεείνῃ.
οὐ γὰρ ἄτερ καμάτοιο τέλος μύθοισι καὶ ἔργοις
εὐρύοπα Κρονίδης ἐθέλει δόμεν· ἀλλὰ καὶ αὐτὸν
ἐς δύσιν ἀσθμαίνοντες ἀν' αἰθέρα λαμπετόωσαν
ἠέλιον φαέθοντα σὺν ἅρματι πῶλοι ἄγουσι.

Μᾶλλον ἐγὼ πινυτοῖο παραίφασιν ἀνέρος εὑρὼν

τέρψομαι, ἧπερ χρυσὸν ἁπάντων κοίρανον ἀνδρῶν.
Ἠελίῳ γὰρ ἄγων ἱερήιον ἀντεβόλησα
ἀγρόθεν ἄστυδ' ἰόντι περίφρονι Θειοδάμαντι·
καί μιν ἑλὼν χερὶ χεῖρα προσηύδων ὧδ' ἐπέεσσιν·
Ἐς πόλιν, εἰ μὴ πάμπαν ἐπισπέρχωσιν ἀνάγκαι,
ῥηιδίως σοι, ἑταῖρε, καὶ αὔριον ἔσσεθ' ἱκέσθαι·
νῦν δέ σέ μοι στείχοντι μετ' εἰλαπίνην θεὸς αὐτὸς
ὦρσεν ὑπαντιάσαι· τῷ μοι πρόφρων ἐπίνευσον
ἑσπέσθαι. θυσίαι δ' ἱεροπρεπέες τελέθουσιν,
ἃς ἀγαθοὶ ῥέζουσι βροτοί· γάνυται δὲ φίλον κῆρ
ἀθανάτων, εὖτ' ἂν σφι χοροὺς ἀνάγωσιν ἄριστοι.
ἄξω δ' οὐ μακρὴν ἐς ἀταρπιτόν· εἰσοράᾳς γὰρ
ἡμετέρων με κιόντα πρὸς ἀγρῶν ἀκρώρειαν.
ἔνθα νεογνὸς ἐὼν ἔτλην ποτὲ μοῦνος ἀνελθεῖν,
λαιψηρὼ πέρδικε μετασπόμενος προφυγόντε·
οἳ δ' ἤτοι εἵως μὲν ἀκούων οὔνομ' ἕκαστος
ἱστάμενος μίμνασκεν, ὀρεξάμενον δὲ δοκεύσας,
πρὶν μάρψαι χείρεσσιν, ἀλυσκάζων προφύγεσκεν.
αὐτὰρ ἐγὼ σπουδῇ κεν ἐπὶ στόμα κάππεσον ἐλθών·
ἂψ δ' αὖτις γαίηθεν ἀναΐξας ἐδίωκον.
ἀλλ' ὅτε δὴ κορυφήνδε μετασπόμενος κίον ἄκρην,
οἳ μὲν ἄρ' ἐξαπίνης ἰαχὴν ὀξεῖαν ὀρόντε
αἰγανέης ἔσσυντο θοώτερον ἠὲ βελέμνου
ὑψίκομον ποτὶ φηγόν, ἐπεσσύμενον προϊδόντε
αἰνὸν ὄφιν πετάσαντα γένυν πλείην θανάτοιο.
τὸν δ' ἐγὼ ἐγχριμφθεὶς ὑπεναντίον ἀΐξαντα
οὐκ ἴδον· ὀφθαλμοὶ δέ μοι ὀρνίθων λελίηντο·
πρίν περ ἀναστήσαντος ἀπὸ χθονὸς αὐχένα δεινὸν
ἐφρασάμην ἤδη τε δέμας μεμαῶτα λαφύξαι.
ἔνθ' εἴ τις σπεύδοντα παλίσσυτον εἰσενόησεν,
οὔτε με περδίκεσσιν ἀελλοπόδεσσιν ἕπεσθαι,
οὔτε με νηπιάχοισιν ὀΐσατο ποσσὶ φέρεσθαι.
κέκλετο γάρ μοι δεῖμα τανύπτερον αἰετὸν εἶναι,

καὶ πνοιὴν ἀνέμου, παρὰ γὰρ ποσσὶν κακὸν ἦεν.
πολλάκι δ' εἵματος ἄκρου ἐπιψαύεσκεν ἀκωκαῖς·
καί κεν ὑπὲρ μοῖράν με πελώριος ἀμφέχανεν θήρ,
εἰ μή μοι νόος ὦρτο θοῶς ἐπὶ βωμὸν ὀροῦσαι,
τόν ῥα παλαιότεροι Φαεσιμβρότῳ ἱδρύσαντο.
τῷ δ' ἄῤ ἔπι τρύφος αὖον ἐλαϊνέης ἐλέλειπτο
σχίζης, ἥν τε μαρανθὲν ἀδηφάγον ἐξέλιπεν πῦρ.
τὴν ἐγὼ ἁρπάξας ὀλοοῦ κατένωπα δράκοντος
ἐστρέφθην. μαίμησε δ' ὀρεσκῴου μένος αἰνὸν
μάρνασθαι, μεμαῶτα ἰδών. εἱλεῖτο δὲ πυκνῶς,
γνάμπτων εὐκύκλως ταναὴν ῥάχιν· αὐτὰρ ἐπ' ἄλλῳ
ἄλλος, ἔπειτα δέ τ' ἄλλος ἑλισσομένου τροχὸς ἦεν·
ἠδ' ἔτι καὶ βωμοῦ ὕπερ αὐχένας ἠέρταζε
συρίζων βοόωντος ἐμῆς πολὺ μεῖζον ἀϋτῆς.
καὶ τύπτων ἄρρηκτον ὀρεσκῴοιο κάρηνον
ἀμφ' αὐτῷ θραύεσκον ὑπέκπυρον ὄζον ἄκικυν·
οὐδ' ἄρα μόρσιμος ἦα δαφοινῷ θηρὶ δαμῆναι.
τοὔνεκεν αἰπολίοισιν ἀπόπροθι βοσκομένοισιν
ἑσπομένω δύο πατρὸς ἐμοῦ κύνε κεκλήγοντα
γνόντες ἐπεδραμέτην· μάλα γάρ σφισι μείλιχος ἔσκον.
οἳ μὲν ἄρ' ὑλάσσοντες ἐπέδραμον· αὐτὰρ ὅγ' αἶψα
ἀντίον ἔσσυτο τοῖϊν· ἐγὼ δ' ἐς γαῖαν ὀρούσας
προτροπάδην, ὥς τίς τε Διὸς γαμψώνυχα φεύγων
αἰετὸν ἐν πυκινοῖσι λάθῃ θάμνοισι λαγωός,
τῷ ἴκελος μήλοισι μιγεὶς ὀλοοῦ ἀπὸ θηρὸς
ἐκρύφθην, μέσσοισιν ἐνὶ πτήξας ἐρίφοισιν.
ὄφρα μὲν οὖν ἀκάκητα πατὴρ ἐμέθεν ζώεσκεν,
αἰεὶ μόσχον ἄγεσκεν ἐμὸν πρὸς ἀμύντορα βωμόν,
τίνων Ἠελίῳ ζωάγρια παιδὸς ἑοῖο·
αὐτὰρ ἐπεὶ μοῖραί μιν ἀπήγαγον ἠελίοιο,
αὐτὸς ἐγὼν ἀγέληθεν ἐλάσσας πίονα μόσχον
εἰαρινόν, θαλέθοντα νεήνιδος οὔθατι μητρός,
ἔρχομ' ἐς ἀκρώρειαν, ἄγων χορὸν ἡδὺν ἑταίρων·

σὺν δέ σφιν καὶ τῷδε δρακοντοφόνῳ κύνε βήτην
αὐτομάτω· γλυκερὴ δὲ πέλει περὶ βωμὸν ἄνακτος
τερπωλὴ, χλοερὸν τε πέδον, μαλακαί τ' ἔπι ποῖαι,
καὶ λασίαις πτελέῃσιν ὕπο σκιή· ἄγχι δ' ἄρ' αὐτῶν
ὕδωρ ἀέναον λισσῆς ὑπὸ πυθμένι πέτρης
λευκὸν ἀναβλύζον κελαρύζεται εἴκελον ᾠδῇ.
ἴομεν· οὔτοι δαῖτα θεῶν θέμις ἀρνήσασθαι.
Ὣς ἐφάμην. ὃ δέ μ' ὧδε προσηύδα δαιμόνιος φώς·
Ἀλλά σε μὲν κρείων Φαεσίμβροτος ἐξ ἀλεγεινῆς
αἰὲν ἄγοι κακότητος, ἀδακρύτοιό τε πέμποι
ὄλβου πρὸς μέγα δῶμα φιλοφροσύνης ἕνεκα σφῆς.
οὐδὲ μὲν οὐδέ σ' ἐγώ περ ἀμοιβῆς αὐτὸς ἀμέρσω·
ἀλλ' ἐπεὶ οὖν ἄξων ἱερήϊον εἰσαναβαίνεις,
ὄφρα τοι εὐχομένοιο κλύοι θεός, ἐγγυαλίξω.
Κρύσταλλον φαέθοντα διαυγέα λάζεο χερσὶ
λᾶαν, ἀπόρροιαν πυριφεγγέος ἀμβρότου αἴγλης·
αἰθεῖ δ' ἀθανάτων μέγα τέρπεται ἄφθιτον ἦτορ·
τόν κ' εἴπερ μετὰ χεῖρας ἔχων παρὰ νηὸν ἵκηαι,
οὔτις τοι μακάρων ἀρνήσεται εὐχωλῇσι.
κέκλυθι δ' ὄφρα μάθοις μένος ἀργεννοῖο λίθοιο.
εἰ γὰρ ἄτερ κρατεροῦ ἐθέλοις πυρὸς ἐκ φλόγας ὄρσαι,
κέκλομαι αὐαλέων μιν ὑπὲρ δαΐδων καταθεῖναι·
αὐτὰρ ὅγ' ἠελίου κατεναντίον αὐγάζοντος
αὐτίχ' ὑπὲρ δαΐδων ὀλίγην ἀκτῖνα τανύσσει.
ἡ δ' ὅτε καρφαλέης τε θίγῃ καὶ πίονος ὕλης,
καπνόν, ἔπειτα δὲ πῦρ ὀλίγον, μετὰ δὲ φλόγα πολλὴν
ὄρσει· τὴν δ' ἄρα φασὶ παλαιγενέες ἱερὸν πῦρ.
τάων οὐχ ἑτέρης μᾶλλον φλογὸς ἔλπομ' ἔγωγε
ἀθανάτοις οὕτω κεχαρισμένα μηρία καίειν.
πρὸς δ' ἔτι τοι καὶ τοῦτο, φίλος, μέγα θαῦμα πιφαύσκω·
αὐτὸν ὅτις πέλεται φλογὸς αἴτιος, αἴκε μάλ' ὦκα
ἐκ πυρὸς ἁρπάξῃς, ψυχρὸς πέλει ἀμφαφάασθαι,
ἀμφὶ δὲ καὶ νεφροῖσι δεθεὶς κάμνοντα σαώσει.

Δεύτερον εὐχομένῳ τοι ἀρηγόνα λᾶαν ὀπάσσω,
θεσπεσίοιο γάλακτος ἐνίπλεον, ἠΰτε μαζὸν
πρωτοτόκου νύμφης ἢ μηκάδος οὐθατοέσσης·
τόν ῥα παλαιγενέες μὲν ἀνακτίτην ἀδάμαντα
κλεῖον, ὅτι γνάμπτει μακάρων νόον, ὄφρα θυηλὰς
ἀζόμενοι ἐθέλωσιν ἐπιχθονίους ἐλεαίρειν·
οἱ δ' ἄρα μιν λήθαιον ἐφήμισαν, οὕνεκεν αἰεὶ
μεμνῆσθαι κακότητος ὀϊζυρῆς ἀπερύκει
θνητοὺς ἀθανάτους τε· νόον δ' ἐριούνιον εἶναι
θέλγει ἐποτρύνων ἀγανὰ φρεσὶ βουλεύεσθαι.
ἄλλοι δ' ἐσκέψαντο γαλακτίδα φέρτερον εἶναι
κικλήσκειν πέτρην, ὅτι τοι τρίψαντι γάλακτος
ἐκπρορέει λευκοῖο πανείκελος ἔνδοθεν ἰχώρ.
πεῖρα δέ τοι καὶ τοῦδε παρέσσεται, αἴκ' ἐθέλησθα.
οὔθατα γὰρ μήλων ὅτε κεν μινύθοντα ἴδηαι,
πῶς ἔρξεις, φίλε τέκνον, ἐπὴν ἐρίφοισι τεοῖσιν,
οὓς ποτε θῆρα πέλωρον ὑπεκπροφυγὼν ἱκέτευσας,
τοῖσι παρασταίης τετληόσιν, οἱ δ' ἐνὶ σηκῷ
ἀμφί σε λεπταλέοι γοερὸν περιμηκήσωνται;
τῶν μὲν ἀκηχεμένας ἐπιτέλλεο μητέρας αἶψα
λούειν πηγάων κυαναυγέσιν ἐν δίνῃσι·
στήσας δ' ἠελίου κατεναντίον ἀντέλλοντος,
ἁγνίζειν μὲν πρῶτον ἐποιχόμενος περὶ πάσας,
ἅλμην δ' ἐν κρητῆρι καὶ ἄλφιτα λεπτὰ λίθοιο
χευάμενος, διὰ πῶϋ καὶ αἰγῶν ἔρχευ ὅμιλον,
ῥαίνων καρποφόρῳ λάσιον κατὰ νῶτον ἑκάστης
θαλλῷ· ταὶ δ' ἄρα πᾶσαι ἰαινόμεναι περὶ σηκοὺς
ἐξαπίνης μετὰ τέκνα φερεγλαγέες στιχόωνται.
οἱ δ' ἄρ' ὑπαὶ μαζοῖσι κορεσσάμενοι γαλαθηνοὶ
σκιρτηθμῶν ἐξαῦτις ἀναμνήσοντ' ἀγέρωχοι.
σὴν δὲ μελικρήτοιο μετὰ γλυκεροῖο μιγέντα
ὄρνυε πινέμεναι νύμφην, ἵνα νήπιον υἷα
μαστοῖσιν μεθύοντα παρ' ἀενάοισι κομίζῃ.

ἀμφὶ δ' ἄρ' αὐχένι παιδὸς ἀερτάζουσα τιθήνη
λᾶαν ἐρητύσει κακομήτιος ὄσσε Μεγαίρης·
καὶ δέ σε καὶ βασιλῆες ἀμύμονες αἰδέσσονται
ἐν χερὶ λᾶαν ἔχοντα καὶ ἄπλετα φῦλ' ἀνθρώπων·
ἀθάνατοι δὲ μάλιστα θεοὶ καταθύμια σεῖο
πάντα τελευτήσουσιν ἐπ' ἀράων ἀΐοντες.
Χρὴ δὲ καὶ εὐπέταλον τετραυγέα λᾶαν ἔχοντας
ἀρᾶσθαι παρὰ βωμὸν ἐναιρομένης ἑκατόμβης.
Εἰ καὶ δενδροφύτοιο φέροις τρῦφος ἐν χερὶ πέτρης
μᾶλλόν κεν θάλποιτο θεῶν νόος αἰὲν ἐόντων.
δένδρεα γὰρ μάλα πολλὰ κατόψεαι ὡς ἐνὶ κήπῳ
ἀνθεμόεντι κλάδοισιν ἐπασσυτέροις κομόωντα.
τοὔνεκά οἱ καὶ φῶτες ἀχάτῃ δενδρήεντι
θῆκαν ἐπωνυμίην, ὅτι οἱ τὸ μὲν ἔπλετ' ἀχάτου,
ἄλλο δ' ἔχει λασίης ὕλης δέμας εἰσοράασθαι.
τὸν δὲ τεοῖσι βόεσσιν ἀνασχίζουσιν ἄρουραν
ἀμφὶ κέρα δοιὼ βαλέειν, ἢ καρτερὸν ἀμφὶς
ὦμον ἀροτρεύοντος ἀτειρέος ἀγροιώτου·
καί κεν ἀπ' οὐρανόθεν σταχυοπλόκαμος Δημήτηρ
μεστὸν ἴοι φερέκαρπον ἐς αὔλακα κόλπον ἔχουσα.
Σκέπτεο, καὶ θηητὸν ἔχων ἐλάφοιο πέλαζε
ἀθανάτοισι κέρας· ποτὶ γὰρ νόος οὐρανιώνων
μειδιάει φύσεως πολυδαιδάλου ἔργον ἰδόντων·
ἤτοι μὲν κέρας ἐστί, ταναύποδος οἷα φύονται
ἐκ κεφαλῆς ἐλάφοιο· φύει γε μὲν οὔποτε κόρσῃ
πέτρην, ἀλλ' ἔμπης πέλεται στερεὴ τόγε πέτρη·
οὐ δέ κεν ἂν γνοίης κέρας ἀτρεκές, ἢ λίθος ἐστί,
πρίν κέ μιν ἀμφαφόων εὕρῃς νημερτέα λᾶαν.
αἰεί τοι θήσει λασίην ἐπὶ κράατι λάχνην,
εἰ καὶ ψεδνοκάρηνος ἔοις· εἰ γάρ μιν ἐλαίῳ
— — — — — — — — — — — —
τριβόμενον τρίβειν κροτάφους πάντ' ἤματα σεῖο,
αἱ δὲ νέαι περὶ βρέγμα τεὸν τρίχες ἀνθήσουσι.

πρωτόγαμον δ' αἰζηὸς ἄγων ἐς δέμνια κούρην
τερπωλῆς ἐρατῆς ἐπιμάρτυρα τόνδε φέροιτο
λᾶαν· ὃ δ' ἀρρήκτοισιν ὁμοφροσύνῃσιν ἅμ' ἄμφω
ὕστατον ἐς γῆρας καὶ ἐς ἤματα πάντα καθέξει.
Ποιμένι δ' ἀγραύλων ταύρων, Διὸς αἰγιόχοιο
υἱέϊ κισσοχίτωνι, λίθον καταθύμιον εἶναι
βάρβαρον ἀγγέλλω, Συριηγενέος κελαδεινοῦ
ὕδασιν Εὐφρήταο διαινόμενον ζαμίλαμπιν·
ὅς τοι φυταλιῆς ἕνεκεν ῥέξαντι θυηλὰς
κλήμασιν αὐτίκα σεῖο φερεσταφύλοισιν ἀλωὴν
ἀμφιέσας πολλόν τοι ἀφύσσασθαι μέθυ δώσει.
Καὶ γλαφυρὴν κομίσας ἐαρόχροον αἴκεν ἴασπιν
ἱερά τις ῥέζῃ, μακάρων ἰαίνεται ἦτορ,
καί οἱ καρφαλέας νεφέλαις κορέσουσιν ἀρούρας·
ἥδε γὰρ αὐχμηρῇσιν ἄγει πολὺν ὄμβρον ἀρούραις.
Λύχνι, σὺ δ' ἐκ πεδίου ῥόθιόν τ' ἀπόεργε χάλαζαν
ἡμετέρου καὶ κῆρας, ὅσαι στιχόωνται ἐπ' ἀγρούς·
καί σε γὰρ ἀθανάτων φιλέει νόος, ἐκ δ' ἄρα βωμῶν
ἠΰτε περ κρύσταλλος ἄνευ πυρὸς ἐκ φλόγα πέμπεις·
ἐν δέ σοι ἀντίπαλον κεῖται μένος· ὁππότε δὴ πῦρ
νηδὺν ἀμφιέσῃσιν ἐνιπλείοιο λέβητος,
ψυχρὸν ἐπειγομένοιο πυρὸς μένει ἔνδοθεν ὕδωρ·
εἰ δέ τις ἐν ψυχρῇσι λίπῃ κονίῃσι λέβητα,
παφλάζει κρατεροῖο κυκώμενον ἔνδοθι χαλκοῦ.
Ἐσθλοὶ δ' αὖτ' ἐπὶ τοῖσι καὶ ὑαλοειδέες εἶναι
κλείονται θνητοῖσι θυηπολέουσι τόπαζοι.
Φημὶ δέ τοι τέρπειν καὶ ὀπάλλιον οὐρανίωνας
ἀγλαόν, ἱμερτοῦ τέρενα χρόα παιδὸς ἔχοντα·
καί ἑ καὶ ὀφθαλμοῖσιν ἀοσσητῆρα τετύχθαι.
Καὶ πίτυος δακρύοισι λίθου μένος ὀψιανοῖο,
καὶ σμύρνην μίσγειν εὐώδεα, καὶ φολίδεσσιν
ἀργυφέαις λεπιδωτὸν ἀποστίλβοντα κελεύω.
αὐτίκα γάρ τοι ταῦτα πυρὸς καθύπερθε πάσοντι

ἀθάνατοι δώσουσι θεοπροπίας ἀγαθῶν τε
ἐσσομένων, λυγρῶν τε· καὶ εἴσεαι ἅσσ' ἐθέλησθα.
καὶ νεύρων ἀλεγεινὰ πάθη λεπιδωτὸς ἀμύνει.
Δοιὼ δ' Ἠελίου χρυσότριχε λᾶε πέλονται,
ἄμφω θεσπεσίω· θάμβος δέ τοι ἔσσετ' ἰδόντι.
ἀμφοτέροις ἀκτῖνες ἐτήτυμοι ἐμπεφύασιν
ὀρθαί, λαμπετόωσαι· ἰδεῖν γε μὲν οἷον ἔθειραι,
εἶδος δέ σφι λίθων ἄλλων· τὸν μέν τε νοήσεις
κρύσταλλον λευκήν· εἰ δ' οὐκ ἔχεν ἔνδον ἐθείρας,
κρύσταλλός κεν ἔην· ὃ δὲ χρυσολίθῳ δέμας ἄντην
εἴκελος εἰσιδέειν· εἰ δ' οὐκ ἔχεν οὐδ' ὅγ' ἐθείρας,
χρυσόλιθός κεν ἔην· ἀτὰρ ἐσθλὼ φημὶ τετύχθαι.
ἐν γάρ σφιν μέγα δή τι φερέσβιος ἔμβαλε πνεῦμα
Ἠέλιος, ῥέζειν ἐρικυδέας αὐτίκα φῶτας
σεμνοτέρους τ' ἰδέειν· καί τοι σέβας ἔσσεται αὐτῶν.
αἶψα γὰρ ἡρώων σφιν ἐπέρχεται εἶδος ἀγαυόν,
οἵ κε θεοῦ μέγα δῶρον ἐπισταμένως φορέωσι.
Τόλμα δ' ἀθανάτους καὶ ἐνηέϊ μειλίσσεσθαι
μαγνήσσῃ· τὴν δ' ἔξοχ' ἐφίλατο θούριος Ἄρης,
οὕνεκεν, ὁππότε κεν πελάσῃ πολιοῖο σιδήρου,
ἠΰτε παρθενικὴ τερενόχροα χερσὶν ἑλοῦσα
ἠΐθεον στέρνῳ προσπτύσσεται ἱμερόεντι,
ὣς ἥγ' ἁρπάζουσα ποτὶ σφετερὸν δέμας αἰεὶ
ἄψ πάλιν οὐκ ἐθέλει μεθέμεν πολεμιστὰ σίδηρον.
ἤτοι μέν μίν φασι καὶ Ἠελίοιο πέλεσθαι
ἀμφίπολον κούρης, ὅτε κεν θέλγητρα παλύνῃ·
καί μιν ὑπερθύμοιο τεκοκτόνος Αἰήταο
κύδηνεν κούρη πολυμήχανος. αὐτὰρ ἔγωγε
σῆς ἀλόχου κέλομαί σε δαήμεναι, εἰ ἔθεν ἁγνὸν
ἀνδρὸς ἀπ' ἀλλοτρίοιο λέχος καὶ σῶμα φυλάσσει.
ἐς γάρ μιν κομίσας ὑπὸ δέμνια κάτθεο λάθρῃ
χείλεσιν ἀείδων θελξίμβροτον ἀτρέμας ᾠδήν·
ἡ δὲ κατακνώσσουσα καὶ ἡδέϊ περ μάλ' ἐν ὕπνῳ

ἀμφί σε χεῖρ' ὀρέγουσα ποτιπτύσσειν μενεαίνει·
εἰ δέ ἑ μαχλοσύνῃσιν ἐλαύνοι δῖ' Ἀφροδίτη,
ὑψόθεν ἐς γαῖαν τετανύσσεται ἐκπροπεσοῦσα.
καὶ δοιὼ μάγνησσαν ἀδελφειὼ φορεόντων
θυμὸν ἀπειρεσίης φυγέειν ἔριδος ποθέοντε·
καὶ λαοὺς ἀγορήνδε συναγρομένους ὀπὶ καλῇ
θέλξεις, ἐν στήθεσσιν ἄγων μελιηδέα πειθώ.
καί τοι πολλά κεν ἄλλα δυνησόμενος καταλέξαι
θέσκελα τοῖο λίθοιο, τί τοι πλέον οὐρανιώνων
φθέγγωμαι; τῶν αἶψα καὶ ὑψόθι περ μάλ' ἐόντων
ἦτορ ἐπιγνάμπτει καὶ ἐφέλκεται, ὄφρα κε σεῖο
ὦκα μάλ', ὥστε τοκῆες, ἐέλδωρ ἐκτελέσωσιν.
ἀλλ' ἤτοι τάδε μὲν καὶ ἐπαυτίκα πειρηθῆναι
πάντα μάλ', ὅσσ' ἀγόρευσα, παρέσσεται, εἴ κ' ἐπὶ βωμὸν
ἔλθωμεν. καὶ γάρ τοι ἐπισπόμενός μοι ὅγ' ἀνὴρ
ὤμοισι κρατεροῖσι λίθων φέρει αἰόλον ὕλην.
Νῦν δ' ἐπεὶ ἀτραπιτοῖο πολὺ πλέον ἄμμι λέλειπται,
σεῖο δ' ἔτι κραδίην κλονέει μέγα δέργμα δράκοντος,
μάνθανε καὶ δολιχῶν ὄφεων μὴ δειδέμεν ἰούς.
τρίψαι γὰρ λεπτὴν ὀφιήτιδα κέκλεο πέτρην,
ἥν ποτέ τις κρατεροῖσι πεπαρμένος ἔλθῃ ὀδοῦσι,
καί μιν ἐφ' ἕλκεϊ πάσσε· καὶ ἀτρεκὲς ἔσσετ' ὄνειαρ.
σὺν δὲ καὶ ὀστρίτην οἴνῳ λίθον ἐντρίψαντας
ἀκρήτῳ κέλομαι πίνειν ὀδυνήφατον εἰδώς.
Καὶ σέο, δαιμονίη, μεμνήσομαι αὐτίκα, πέτρη,
αὐτοκασιγνήτη πολιῆς καὶ ὁμώνυμ' ἐχίδνης·
ἦ ῥά ποτ' εἰναετῆ λώβην ἀμενηνὸν ἔθηκας
ῥίμφα Φιλοκτήταο Μαχαονίης ὑπὸ τέχνης.
οὐ μέν πως κείνην Ποιάντιος ἔλπετο θυμῷ
νοῦσον ὑπεκφεύξεσθαι ἀταρτηρὴν ποθέων περ·
ἀλλ' ὅγ' ἀλεξικάκοιο μαθὼν παρὰ πατρὸς ἀρωγήν,
λᾶαν ὅτις κ' ἀκέοιτο βαλὼν ἔπι φάρμακα μηρῷ,
σεῦεν ἐπὶ Τρώεσσιν Ἀλεξάνδροιο φονῆα·

τόν ῥα μεθ' ὑσμίνην ἧκειν ποσὶν ἀρτεμέεσσι
Πριαμίδης Πάρις αὐτὸς ἀποθνήσκων περ ἀπίστει.
ἔκτανε δ' ἠπεροπῆα Πάριν Ποιάντιος ἥρως,
κεκλομένου Δαναοῖς Ἑλένου Τροίηνδε κομίσσαι
λοιγὸν ἀδελφειοῖο μιαιφόνον ἐκ Λήμνοιο.
τῷ γὰρ Ἀπόλλων Φοῖβος ἔχειν λίθον αὐδήεντα
δῶκε, σιδηρίτην νημερτέα· τόν ῥα βροτοῖσιν
ἥνδανεν ἄλλοισιν καλέειν ἔμψυχον ὀρείτην,
γυρόν, ὑποτρηχύν, στιβαρόν, μελανόχροα, πυκνόν·
ἀμφὶ δέ μιν κύκλῳ περί τ' ἀμφί τε πάντοθεν ἶνες
ἐμφερέες ῥυτίδεσσιν ἐπιγράβδην τανύονται.
ἤματα μὲν τρί' ἐφ' ἑπτὰ βίην Ἑλένοιο πέπυσμαι
θηλυτέρης τε λέχος φεύγειν καὶ κοινὰ λοετρά,
καὶ μίμνειν ἀμίαντον ἐδωδῆς ἐμψύχοιο·
ἀενάῳ δ' ἐνὶ πέτρον ἐχέφρονα πίδακι λούων
φάρεσιν ἐν μαλακοῖσιν ἅτε βρέφος ἀλδήσασκε,
καὶ θεὸν ὣς λιπαρῇσιν ἀρεσσάμενος θυσίῃσι
λᾶαν ὑπερμενέεσσιν ἀοιδαῖς ἔμπνοον ἔρδεν.
ἐν καθαρῷ δὲ φάος μεγάρῳ λύχνοισιν ἀνάπτων,
χερσὶν ἑαῖς ἀτίταλλε, θεουδέα πέτρον ἀείρων,
μητέρι νήπιον υἱὸν ἐοικὼς ἀγκὰς ἐχούσῃ.
καὶ σὺ δ', ἐπὴν ἐθέλῃς ὄπα δαιμονίην ἐπακοῦσαι,
ὧδ' ἔρδειν, ἵνα θαῦμα μετὰ φρεσὶ σῇσι δαείῃς·
ὁππότε γάρ μιν πάγχυ κάμῃς ἐνὶ χείρεσι πάλλων,
ἐξαπίνης ὄρσει νεογιλοῦ παιδὸς ἀϋτὴν
μαίης ἐν κόλπῳ κεκληγότος ἀμφὶ γάλακτι.
χρὴ δέ σε τετληῶτι νόῳ ἐπακουέμεν αἰεί,
μήπως ἠπεδανοῖο λυθεὶς ὑπὸ δείματος ἔξω
ἐκ χειρῶν οὐδάςδε βαλὼν χόλον αἰνὸν ὀρίνῃς
ἀθανάτων. τόλμα δὲ θεοπροπίην ἐρεείνειν·
πάντα γὰρ ἐξερέει νημερτέα. καί μιν ἔπειτα
πλησίον ὀφθαλμῶν, ὅτε κεν λήγῃσι, πελάσσας
δέρκεο· θεσπεσίως γὰρ ἀποψύχοντα νοήσεις.

τῷδε μὲν Ἀτρείδῃσιν ἁλώσιμον ἔφρασε πάτρην
Λαομεδοντιάδης, φοιβήτορι λᾶϊ πιθήσας.
σοὶ δέ τι καὶ σθένος ἄλλο σιδηρίταο πιφαύσκω·
ἑρπετὰ γὰρ δὴ πάμπαν ὑποτρομέοντι ἔοικας.
σεῖο δ' ἔχεν πολὺ μεῖζον ἀκοίμητόν τε νόοιο
δεῖμα Φιλοκτήτης μεμνημένος αἰὲν ἐχίδνης.
τοὔνεκα Πριαμίδαο σαόφρονος οὔποτε νόσφιν
ἤθελεν ἔρχεσθαι, γουνούμενος, ὄφρα τιν' εἴπῃ
θαλπωρήν, εἴ πέρ ποτ' ἐπὶ χθόνα μητέρα θηρῶν
ἔρχηται, πῶς κεν πολιὸν γένος ἐκπροφύγῃσι.
τῷ δ' ὅγε Λητοΐδην ἐπέων ἐπιμάρτυρα Φοῖβον
κικλήσκων ἀγόρευε, τὰ δὴ νῦν σοι καταλέξω.
Εὖτέ με παῖδ' ἐδίδασκεν Ἀκειρεκόμης ἀγορεύειν
μαντοσύνας, μέγαν ὅρκον ἐκέκλετο πρῶτον ὀμόσσαι,
ψευδέα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισι.
τοὔνεκεν ἀτρεκέως μάλα τοι ἐρέω τὰ ἕκαστα.
φράζεο νῦν, ἥρως ἑκατηβόλε, μῦθον ἐμεῖο.
Αὐτὴ γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσι
τίκτει καὶ κακότητα καὶ ἄλγεος ἄλκαρ ἑκάστου·
γαῖα μὲν ἑρπετὰ τίκτε, τέκεν δ' ἐπὶ τοῖσιν ἀρωγήν·
ἐκ γαίης δὲ λίθων πάντων γένος, ἐν δ' ἄρα τοῖσι
κάρτος ἀπειρέσιον καὶ ποικίλον· ὅσσα δύνανται
ῥίζαι, τόσσα λίθοι. μέγα μὲν σθένος ἔπλετο ῥίζης,
ἀλλὰ λίθου πολὺ μεῖζον, ἐπεὶ μένος ἄφθιτον αἰεὶ
γεινομένῳ μήτηρ καὶ ἀγήραον ἐγγυάλιξεν.
ἡ δὲ καταθνήσκει τε μινυνθάδιον θαλέθουσα,
καὶ τόσον αὐτῆς κάρτος, ἐφ' ὁππόσον ἔμπνοός ἐστιν·
εἰ δέ κ' ἀποπνεύσῃ, τίς ἔτ' ἐλπωρὴ παρὰ νεκρῆς;
ἐν μὲν δὴ βοτάναις ἄγυριν λυγρῶν τε καὶ ἐσθλῶν
δήεις, ἐν δὲ λίθοις ἄτην οὐ ῥεῖά κεν εὕροις.
ἤτοι ὅσαι βοτάναι, τόσσοι λίθοι. Ἀλλὰ σύ γ' ἥρως,
λᾶϊ σιδηρίτῃ πεφυλαγμένος ἑρπετὰ πάντα
θαρσαλέως, εἰ καί τοι ὁμιλαδὸν ἀντιόωσιν,

ἔρχεσθαι διὰ μέσσα κελαινῆς οὐκ ἀλεγίζων
λώβης. οὐ γὰρ ἔτι σφι θέμις μεμνῆσθαι ὀδόντων,
οὐδ' εἴ κεν στείχοντος ἐνιχρίμπτοιντο πόδεσσιν.
οὐδὲ γὰρ οὐδὲ μένειν περ ἔτι προφανέντα δύνανται,
ἀλλὰ μετά σφισι θάμβος, ἐλαυνομένοισι δ' ὁμοῖα
ἔσσυνται. τὰ δὲ καίπερ ἐναντίον ἀΐξαντα
ἂψ ὀπίσω παλίνορσα μεθερπύζειν μενεαίνει·
καί σφισιν ἐξαπίνης ῥόθος ἵσταται· οὐδέ τι πρόσσω
νίσσεται, ἀλλ' ὀρέγοντα πέλας περιμήκεα δειρὴν
γλώσσῃσιν μεμάασι περισσαίνειν, σκύλακες ὥς.
πολλάκι καὶ κατέδαρθε δαφοινῶν ἄγχι δρακόντων,
ἀμφὶ κυνηγεσίῃσι μένων ἐν τάρφεσιν Ἴδης,
θηρητὴρ Εὔφορβος ἀρωγῇ τῇδε πεποιθώς.
δῶκα γὰρ ἀντομένῳ λίθον ἱερόν, οὐδέ ποτ' αὐτῷ
ἐκ μάλα περ πολλῶν ἐλθεῖν κατεναντίον ἔτλη

— — — — — — — — —

τέρπετο δ' Εὐφόρβῳ περικαλλέϊ φέρτατος ἀνδρῶν
αἰχμητὴς Μελάνιππος, ἀνεψιὸς ἐσθλὸς ἐμεῖο,
εἶδος ἀμώμητον καὶ ἐπ' εἴδεϊ κάρτος ἄρειον
αἰζηοῦ ποθέων δουρικλυτοῦ, εὐπλοκάμοιο.
τοὔνεκα καὶ μετὰ θῆρας ἀλωμένου οὔποτε νόσφιν
ἔσθενεν Εὐφόρβοιο μένειν Ἱκετάονος υἱός,
ἀλλ' αἰεὶ λασίοισιν ἐν οὔρεσιν ἀντιθέοιο
καγχαλόων κούροιο μετ' ἴχνια σύν τε κύνεσσιν
ἕσπετο σύν θ' ἑτάροις, ἔθελέν τέ οἱ οἶος ἕπεσθαι.
ἦ μέν κέν μιν πολλὰ πατὴρ μενέαινεν ἐρύκειν,
ἀσχαλόων ἑὸν υἷα φίλον θήρεσσι μάχεσθαι,
καὶ Πριάμοιο βίη μιν ἐρήτυεν· οὐδ' ὅγε θυμῷ
πείθετ' ἐπεὶ οὐ ἐθέλεσκέ ποτ' Εὐφόρβοιο λιπέσθαι·
ῥεῖά γε μὴν ἀέκοντα μέλας ἠρύκακεν ὕδρος,
νέρθεν ὑπὸ κνήμην ὀλεσίμβροτον ἰὸν ἐλάσσας·
τὸν μὲν ἔπειτ' ὀλοὴ νόσος ἔλλαβεν, οὕνεκ' ἔμελλεν
αὖθι λελείψεσθαι, τό ῥά μιν καὶ μᾶλλον ἔτειρεν.

οἰκτείρων δ' ὀρέγοντα χέρας ποτὶ γούνατ' ἐμεῖο,
αὐτοῦ τοῦδε λίθοιο διατρίψαντα κέλευσα
λεπταλέην ἄχνην ἐπιπασσέμεν ἕλκεϊ λυγρῷ·
καί ῥα μάλ' αὐτίκα φῶτα κραταιὴ κάλλιπε νοῦσος.
τοῖον γαῖα βροτοῖσιν ἀρηγόνα τίκτεν ὀρείτην,
ὅς τε καὶ οὐταμένοις ἄκος ἡρώεσσι κομίζει,
καὶ στείρῃσι γυναιξὶ τεκεῖν φίλα τέκνα δίδωσι.
ποικίλα γὰρ θνητοῖσι λίθους ἕρδειν ἀγορεύω.
ὡς καὶ ἑῆς ποτὲ μητρὸς Ἀβαρβαρέης ἐπακούσας,
ἀνδρῶν εὖ μάλα νοῦσον ἐπισταμένης ἀκέσασθαι,
Βουκολίδης Εὔφορβος ἀγαυοῦ φάσκεν ὀφίτου
φάρμακα μὴ μούνων ὄφεων κατένωπα δύνασθαι,
ἀλλὰ καὶ ὀφθαλμοῖσι φέρειν φάος, ἠδὲ βαρεῖαν
ἐκ κεφαλῆς ἕλκειν ὀδύνην· ἤδη δέ τιν' ἀνδρῶν
οὔασι δηθύνοντα καθήρας ὤπασεν αἶψα
καὶ δὴ καὶ λεπτῆς ἐριήκοον ἔμμεν ἀϋτῆς.
ἤδη καί τινα φῶτα χόλῳ χρυσέης Ἀφροδίτης
ἔργα πρὸς ἱμερόεντα γάμων ἀμενηνὸν ἐόντα
μεμνῆσθαι φιλότητος ἀκεσσάμενος προΐαλλεν.
ἐν πυρὶ δ' εἴ κε βάλῃς μιν, ὀδωδὴν ἑρπετὰ τοῖο
φεύξεται, οὐδ' ἔτι πω μενέει σχεδόν, οὐδ' ἐνὶ χειῇ.
  Φεύγει καὶ κνίσσῃσι γαγάτην ὀρνυμένῃσι
τείροντα θνητοὺς ἐχεπευκέϊ πάντας ἀϋτμῇ.
χροιὴν δ' αἰθαλόεις, πλατύς, οὐ μέγας ἔπλετ' ἰδέσθαι,
καρφαλέῃ δ' ἴκελον πεύκῃ φλόγα δῖαν ὀρίνει.
ἀλλ' ὀλοὸν ποτὶ ῥῖνας ἄγει μένος· οὐδέ τι φῶτες
λήσονθ', ὧν κ' ἐθέλοις ἱερὴν ἀπὸ νοῦσον ἐλέγξαι.
γνάμπτει γάρ σφεας αἶψα χαμαὶ προπρηνέας ἕλκων·
οἳ δ' ἄρ' ἀπὸ σφετέρου πεπαλαγμένοι ἀφλοισμοῖο
στρωφῶντ' ἔνθα καὶ ἔνθα κυλινδόμενοι κατὰ γαῖαν.
τοῖσι δὲ χωομένη φρένα τέρπεται, ὁππότ' ἴδῃσι
πήματα πάσχοντας κεραὴ πόδας ὠκέα Μήνη.
θηλυτέρη δ' εἴ κεν πολυφάρμακον ἀμφιβεβῶσα

καπνὸν ὑπὸ σπλάγχνοισιν ἀναΐσσοντα δέχηται,
ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχώρ,
ὅς τε γυναικοφόνος νεάτῃ μίμνων ἐνὶ γαστρὶ
κέκληται. τότε δ' αὖτις ὑπὸ πνοιῇσι λίθοιο
δερκομένη γάνυταί τις ἑῆς θολὸν ἐκβλύζοντα
νηδύος· ἐκ γὰρ νοῦσον ἀπειρεσίην ἀλεείνει.
ἄλλα τε πόλλ' ἐπὶ τοῖσι γαγάτην θέσκελα ῥέζειν
οἶδα· σὲ δὲ κνίσσῃσιν ἐλαύνων ἑρπετὰ τέρψει.
Σκορπίε, σεῖο δὲ λᾶαν ὁμώνυμον ἔμμεναι ἥρως
ἀγλαὸς Ὠρίων οὐκ ἔκλυεν· ἦ γὰρ ὀΐω,
πικρῇσιν τότε γυῖα πεπαρμένος ἀμφ' ὀδύνῃσι
μᾶλλον σφωϊτέρων κεν ἔχειν ἐθέλεσκέ μιν ἄστρων.
Οὐδ' ὅγε κορσήεντα λίθον κλύεν, οὕνεκα μιχθεὶς
δριμέϊ σὺν σκορόδοιο καρήατι, τοξευτῆρα
πευκεδανῶν ὤκιστα βελέμνων σκορπίον εἴργει.
τὸν μὲν ἐγὼ κόρσῃ μάλ' ἐοικότα φημὶ βροτείῃ
παύειν ὀξυτάτῳ τετριμμένον ἄμμιγα Βάκχῳ
ἀμφίπολον θανάτοιο κελαινῆς ἀσπίδος ἰόν.
μέτρῳ δ' ὅς κεν ἴσῳ μίξῃ ῥοδόεντος ἐλαίου
κόψας ἐκ πυρὸς ὀπτόν, ἐν αὐχενίαις ὀδύνῃσιν
ἄλκαρ ἄγει· μέλιτος δὲ μετὰ γλυκεροῖο κερασθεὶς
ὕδατος ἀτηρὴν ὀλέκει κατὰ γαστέρος ἰλύν,
ἥτε καταΐγδην ὑπὸ νέρτερα νηδύος ἀνδρῶν
δυομένη φέρει ὄγκον ἀεικέα βουβώνεσσιν.
Ἴσθι δ' ἀμαλδύνειν σκορπήϊα κέντρα δύνασθαι
καὶ Περσηϊάδαο μένος μέγα κουραλίοιο,
ἠδὲ παλαμναίην ἀνεμώλιον ἀσπίδα θεῖναι.
τοῦδε δέ μοι πάντων περιώσιον, ὅσσα φύονται
Φοῖβος ἀκειρεκόμης φύσιν ἔμμεναι ἐξ ἑτέροιο
μυθεῖτ' εἰς ἕτερον στρωφωμένου εἶδος· ὅ τίς τοι
ψεῦδός κεν φαίη· τὸ δ' ἐτήτυμον οἶδα τετύχθαι.
χλωρὴ γὰρ βοτάνη πρῶτον φύει· οὐδ' ἐνὶ γαίῃ,
ἥν γε φυτῶν ἴσμεν στερεὴν τροφόν, ἀλλ' ἐνὶ πόντῳ

ἀτρυγέτῳ, ἵνα φύκι', ἵνα βρύα γίνετ' ἐλαφρά.
αὐτὰρ ἐπεί κ' ἔλθησι μαραινομένη ποτὶ γῆρας,
ἤτοι μέν οἱ φύλλα περιφθινύθουσιν ὑφ' ἅλμης·
